62 αὐτῆς ἐν πυρὶ καὶ ἐσκύλευσεν αὐτά. [62]καὶ ἠξίωσαν οἱ ἀπὸ Γάζης Ιω-
ναθαν, καὶ ἔδωκεν αὐτοῖς δεξιὰς καὶ ἔλαβεν τοὺς υἱοὺς τῶν ἀρ-
χόντων αὐτῶν εἰς ὅμηρα καὶ ἐξαπέστειλεν αὐτοὺς εἰς Ιερουσαλημ·
63 καὶ διῆλθεν τὴν χώραν ἕως Δαμασκοῦ. [63]καὶ ἤκουσεν Ιωναθαν
ὅτι παρῆσαν οἱ ἄρχοντες Δημητρίου εἰς Κηδες τὴν ἐν τῇ Γαλιλαίᾳ
μετὰ δυνάμεως πολλῆς βουλόμενοι μεταστῆσαι αὐτὸν τῆς χρείας.
64 [64]καὶ συνήντησεν αὐτοῖς, τὸν δὲ ἀδελφὸν αὐτοῦ Σιμωνα κατέλιπεν
65 ἐν τῇ χώρᾳ. [65]καὶ παρενέβαλεν Σιμων ἐπὶ Βαιθσουρα καὶ ἐπολέμει
66 αὐτὴν ἡμέρας πολλὰς καὶ συνέκλεισεν αὐτήν. [66]καὶ ἠξίωσαν αὐτὸν
τοῦ δεξιὰς λαβεῖν, καὶ ἔδωκεν αὐτοῖς· καὶ ἐξέβαλεν αὐτοὺς ἐκεῖθεν
67 καὶ κατελάβετο τὴν πόλιν καὶ ἔθετο ἐπ' αὐτὴν φρουράν. [67]καὶ
Ιωναθαν καὶ ἡ παρεμβολὴ αὐτοῦ παρενέβαλον ἐπὶ τὸ ὕδωρ τοῦ
68 Γεννησαρ· καὶ ὤρθρισαν τὸ πρωὶ εἰς τὸ πεδίον Ασωρ. [68]καὶ ἰδοὺ
ἡ παρεμβολὴ ἀλλοφύλων ἀπήντα αὐτῷ ἐν τῷ πεδίῳ καὶ ἐξέβαλον
ἔνεδρον ἐπ' αὐτὸν ἐν τοῖς ὄρεσιν, αὐτοὶ δὲ ἀπήντησαν ἐξ ἐναν-
69 τίας. [69]τὰ δὲ ἔνεδρα ἐξανέστησαν ἐκ τῶν τόπων αὐτῶν καὶ συν-
70 ῆψαν πόλεμον. [70]καὶ ἔφυγον οἱ παρὰ Ιωναθου πάντες, οὐδὲ εἷς
κατελείφθη ἀπ' αὐτῶν πλὴν Ματταθιας ὁ τοῦ Αψαλωμου καὶ Ιουδας
71 ὁ τοῦ Χαλφι ἄρχοντες τῆς στρατιᾶς τῶν δυνάμεων. [71]καὶ διέρρηξεν
Ιωναθαν τὰ ἱμάτια αὐτοῦ καὶ ἐπέθετο γῆν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ
72 καὶ προσηύξατο. [72]καὶ ὑπέστρεψεν πρὸς αὐτοὺς πολέμῳ καὶ ἐτρο-
73 πώσατο αὐτούς, καὶ ἔφυγον. [73]καὶ εἶδον οἱ φεύγοντες παρ' αὐτοῦ
καὶ ἐπέστρεψαν ἐπ' αὐτὸν καὶ ἐδίωκον μετ' αὐτοῦ ἕως Κεδες ἕως
74 τῆς παρεμβολῆς αὐτῶν καὶ παρενέβαλον ἐκεῖ. [74]καὶ ἔπεσον ἐκ τῶν
ἀλλοφύλων ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς ἄνδρας τρισχιλίους. καὶ ἐπ-
έστρεψεν Ιωναθαν εἰς Ιερουσαλημ.
12 [1]Καὶ εἶδεν Ιωναθαν ὅτι ὁ καιρὸς αὐτῷ συνεργεῖ, καὶ ἐπελέξατο
ἄνδρας καὶ ἀπέστειλεν εἰς Ῥώμην στῆσαι καὶ ἀνανεώσασθαι τὴν
2 πρὸς αὐτοὺς φιλίαν. [2]καὶ πρὸς Σπαρτιάτας καὶ τόπους ἑτέρους
3 ἀπέστειλεν ἐπιστολὰς κατὰ τὰ αὐτά. [3]καὶ ἐπορεύθησαν εἰς Ῥώμην
καὶ εἰσῆλθον εἰς τὸ βουλευτήριον καὶ εἶπον Ιωναθαν ὁ ἀρχιερεὺς
καὶ τὸ ἔθνος τῶν Ιουδαίων ἀπέστειλεν ἡμᾶς ἀνανεώσασθαι τὴν

61 fin. αυτα *L*] -τας SA || 62 δεξιας] -αν S*†: cf. 50 || 64 συνηντησαν εαυτοις S*† | τον δε αδ. αυ. σιμωνα κατελιπεν] και κατελ. τον αδ. αυ. σιμ. S† || 65 επι] εν A || 66 δεξιας] -αν S*V(†): cf. 50 || 67 παρενεβ.] pr. και S† | γεννησαρ] -σαι S*† | ασωρ] pr. ν A: ex praec. repet. || 68 η παρεμβ. SV*L* (+ των *L*)] παρεμβ. tantum Apl. | εξεβαλον] -λεν S*V† | απηντησαν] παρ⟨ε⟩ιστηκ⟨ε⟩ισαν S† || 70 και εφυγον > S*† | ιωναθου: cf. 25 | ο 1º > S† | αψαλωμου] ψαλμωδου S† | χαλφ(ε)ι] λ > S*L* || 72 υπεστρεψεν] επ. A, -εφον S*† || 73 φευγοντες] φυγ. A | επ SV] προς Apl. | εδιωκον] -καν S(†) | κεδες SV*L*] καδης A: cf. 63

12 1 αυτω] -των S*† | επελεξατο SV†] -ξεν rel. | ανανεωσαι A† || 2 τοπους] pr. εις S† || 3 εισηλθον] επορευθησαν A†: ex praec. repet. | απεστειλεν] -λαν A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1136 UNIVERSITÄT LEIPZIG